## XVI [107B., 96D.]

*Ἑλλάδι καὶ Μεγαρεῦσιν ἐλεύθερον ἦμαρ ἀέξειν*
*ἱέμενοι θανάτου μοῖραν ἐδεξάμεθα,*
*τοὶ μὲν ὑπ' Εὐβοίᾳ καὶ Παλίῳ, ἔνθα καλεῖται*
*ἁγνᾶς Ἀρτέμιδος τοξοφόρου τέμενος,*
*τοὶ δ' ἐν ὄρει Μυκάλας, τοὶ δ' ἔμπροσθεν Σαλαμῖνος*
⟨ ⟩
*τοὶ δὲ καὶ ἐν πεδίῳ Βοιωτίῳ, οἵτινες ἔτλαν*
*χεῖρας ἐπ' ἀνθρώπους ἱππομάχους ἱέναι·*
*ἀστοὶ δ' ἄμμι τόδε ⟨ξυνὸν⟩ γέρας ὀμφαλῷ ἀμφίς*
*Νισαίων ἔπορον λαοδόκῳ 'ν ἀγορῇ.*

## XVII [138B., 105D.]

*Ἑλλάνων ἀρχαγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων*
*Παυσανίας Φοίβῳ μνᾶμ' ἀνέθηκε τόδε.*